# 05 SEPTEMBRIE

# PARACLISUL SF.CUVIOS-MUCENIC ATANASIE FILIPOVICI DE LA BREST

## PARACLISIER-GR


Ο ΑΓΙΟΣ ΑΘΑΝΑΣΙΟΣ ΜΠΡΕΣΤ
АФАНАСІЙ БРЕСТСКІЙ

# Παρακλητικός Κανών Ἱερομάρτυρος ΑΘΑΝΑΣΙΟΥ τῆς Βρέστης

**Ἀντ. Μάρκου (2016)**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρνβ' (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά

Τροπάρια. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

**Ὀ**ρθοδοξίας τόν ὑπέρμαχον, φίλοι,* καί τοῦ Κυρίου εὐσυμπάθητον φίλον,* τόν καί τό πάθος τῷ Αὐτοῦ φιλήσαντα,* δεῦτε νῦν τιμήσωμεν,* αὐτοῦ προσψαύοντες δέμας,* ὅπερ ἡμῖν ἄφθαρτον* ἔοικεν ὁ Δεσπότης,* ἐν ἐπιγνώσῃ λέγοντες αὐτῷ,* σοί πρέπει δόξα,* σεπτέ Ἀθανάσιε.

Δόξα. Ὅμοιον.

**Τ**όν τῆς Ῥωσίας εὐσεβῆ πολιοῦχον* καί Λιβονίας ἐν κινδύνοις προστάτην,* τόν ἐν τῇ Βρέστῃ Μάρτυρα Ἀθανάσιον,* δεῦτε εὐφημήσωμεν,* ἐλέησον ἐκβοῶντες* τούς παραπικραίνοντας* τόν Θεόν ἁμαρτίαις* καί εἰς τάς ἄνω ὁδήγησον μονάς* καί μετανοίᾳ* ἡμᾶς χειραγώγησον.

Καί νῦν. Θεοτοκίον. Ὅμοιον.

**Τ**ῇ Θεοτόκῳ ὡς μητρί ἐκβοῶμεν,* οἱ τυραννούμενοι ἐχθροῦ δυναστείᾳ,* τῇ θεϊκῇ Σου

σκέπασον ἀγάπῃ ἡμᾶς·* σπεῦσον, Κόρη, ῥύσασθαι* τῶν τοῦ Βελίαρ παγίδων,* πάσης τε αἱρέσεως* καὶ ὀλεθρίου Οὐνίας·* ὑπέρ ἡμῶν γάρ Σοί δέεται θερμῶς,* ὁ Σός ἱκέτης σεπτός Ἀθανάσιος.

Ψαλμός ν' (50).

Εἶτα ψάλλομεν ἐξ ὑπαμοιβῆς, πραείᾳ τῇ φωνῇ καί ἐν πάσῃ εὐλαβείᾳ, τόν παρόντα Κανόνα, οὗ ἡ ἀκροστιχίς κατ' ἀλφάβητον, ἐν δέ τοῖς Θεοτοκίοις *Ἀντωνίου.*

Ὠδή. Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

**Ἀ**θανασίου τοῦ σεπτοῦ Νεομάρτυρος,* τήν θείαν μνήμην πιστοί,* ἐν ὠδαῖς καί ὕμνοις* καί ἡδυμόλποις ᾄσμασι,* τιμήσωμεν κραυγάζοντες,* τήν Σήν ἐκλογάδα,* πνεύματος πλάνης ἀπάλλαξον,* ἵνα Σέ τιμᾷ, ἀξιάγαστε.

**Β**λαδιμήρου τοῦ κλεινοῦ Ἰσαποστάνακτος* πατρῴαν γῆν, ἀγαθέ,* αἵμασι φοίνιξας,* Οὐνίας πλάνης διέσωσας·* διό βοᾷ Σοί ἐκτενῶς,* Ὀρθοδοξίᾳ στήριξον,* Σήν Ἐκκλησίαν αἱρέσει πληττόμενην* καί κακοδόξων μανίας τῷ κλύδωνι.

**Γ**ονάτων κλήσῃ πρός τήν Σήν προσφεύγομεν,* λειψάνων θήκῃ σεπτῇ,* Ἀθανάσιε πάτερ,* ἐν πίστει αἰτούμενοι,* ταῖς πρός Θεόν Σαῖς λιταῖς* τήν ἐνοικοῦσαν Σοί χάριν,* ἡμῖν δοθῆναι καί ἄφθονον,* ῥῶσιν δι' αὐτῆς τῶν παθῶν ἡμῶν.

Θεοτοκίον.

**Α**ὔγαῖς ταῖς Σαῖς τό φοβερόν τῆς νόσου μου* είς ὑγείας χαράν,* μετάστρεψον, Κόρη,* καί τῆς καχεξίας μου,* τό ῥάκος διαῤῥήξασα,* τὴν φαιδρὰν εὐεξίας,* περίζωσον εὐφροσύνην με,* καὶ ἀγαλλιάσεως πλήρωσον.

Ὠδή γ'. Ούρανίας ἀψίδος.

**Δ**έχου δέησιν, Πάτερ, τοῦ ἀμαρτίας είς βάραθρα* θελήσει οἰκείᾳ ῥιφθέντος,* Σύ ὅμως πρόφθασον,* τῇ ἱκεσίᾳ Σου* τῇ πρός Θεόν τῇ πυρφόρῳ,* τῶν τοῦ βελίαρ ῥῦσαι με* χειρῶν ἀδίκων και σῶσον με.

**Ἐ**ν τῷ πλήθῃ πταισμάτων καὶ συμφορῶν, Ἅγιε,* καὶ ταῖς τῶν παθῶν τρικυμίαις* καταποντούμενον,* ὡς διανύσαντι,* τοῦ μαρτυρίου τὸν δρόμον* καὶ Χριστῷ συνόντι νῦν* σῶσον με δέομαι.

**Ζ**ωῆς ἐν κόσμῳ νικήσας πάντα δεσμόν, Ἅγιε,* πράος καὶ ἀκέραιος ὤφθης* καὶ πλήρης χάριτος,* παιδεύων ἅπαντας* Ὀρθοδοξίᾳ ἐμμένειν* καί παραμυθῶν ἡμᾶς,* σεπτέ Ἀθανάσιε.

Θεοτοκίον.

**Ν**εκρωθέντα με, Μῆτερ,* ταῖς τοῦ Βελίαρ προσκρούσεσι,* ζώωσον δεινῶς νεκρωθεῖσαν τοῖς παραπτώμασι,* Παρθένε Ἄχραντε,* τὴν παναθλίαν ψυχήν μου* καὶ ταύτην συνέτισον* φόβῳ τοῦ Κτίσαντος.

**Δ**ιάσωσον* Ἀθανασίου πρεσβείαις Παντελεήμων,* ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι* τήν πρός Σέ παῤῥησίαν.

**Ἐ**πίβλεψον* ἐπικαμπτόμενος Θεοτόκου καί τοῦ Ἁγίου ταῖς λιταῖς Πανοικτῆρμον,* ἐφ’ ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β΄. Τά ἄνω ζητῶν.

**Ἀ**θανασίου τοῦ σεπτοῦ* τῇ λάρνακι προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες·* καί διά αὐτοῦ αἰτούμεθα* τό τοῦ Κυρίου ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Τούτου συνδρομήν* καί τήν βεβαίαν Αὐτοῦ* ἐφ’ ἡμᾶς ἀντίληψιν.

ᾨδή δ΄. Ὁ Εἱρμός. Σύ μου ἰσχύς, Κύριε.

**Ἡ**μᾶς τούς πίστην κοινήν Σοί κατέχοντας,* τῆς Ὀρθοδοξίας* καί τά νῦν τιμῶσι Σου,*Λείψανα τά ἄφθαρτα ,* τά ἐν τῷ ναῷ Σου* τῷ σεπτῶ ἀποκείμενα,* ἀπάλλαξον κινδύνων,* Ἀθανάσιε Πάτερ,* ἵνα κράζωμεν, δόξα Σοι Κύριε.

**Θ**εόν ἀνθρώποις ἰδεῖν ἀδύνατον,* Γραφή κηρύττει,* πλήν ἀνθρώποις τεθέαται,* ὁ πατρικούς κόλπους μή λιπῶν* καί τήν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος* Χριστός, ὑπέρ Οὗ στήθει* τούς ἄνθρακας ἐδέξω* καί τῆς ἀγχόνης τήν πεῖραν ἀπείληφας.

Ἱλαστικῶς Σῶν δέχου δούλων παράκλησιν,* Ὀρθοδοξίας στύλε,* καί πιστῶν κραταίωμα,* καί ἀσφαλές καταφύγιον ψυχῶν,* πλάναις βαλλομένων,* ταῖς τῆς Οὐνίας καί Δύσεως·* στήριξον δέ πίστει* γνησίᾳ Ἐκκλησίαν,* ταῖς Σαῖς πρεσβείαις, σεπτέ Ἀθανάσιε.

Θεοτοκίον.

Τήν ἱεράν τοῦ Σοῦ σεπτοῦ θεράποντος ἄθλησιν,* Κόρη Παρθένε,* οἱ πιστοί τιμῶντες νῦν,* δεόμεθά Σου, Δέσποινα,* τούς πλάνῃ συσχεθέντας* καί ἐκπεσόντας τῆς Πίστεως,* ταχέως ἐπανάγαγε* είς Ἐκκλησίας κόλπους,* ἵνα τιμῶμεν Υἱόν Σου τόν Ἄναρχον.

Ὠδή ε'. Ἵνα τί μέ ἀπώσω.

Καταιγίς με χειμάζει* ἡ ἀπό τῆς Δύσεως, Πάτερ πανεύφημε,* βοᾶ Σοί Ἐκκλησία* Μικρᾶς Ῥωσίας καί σκότος ἐκάλυψεν* δεινῆς κακοδοξίας,* ἀλλά τῇ Σῇ πρεσβείᾳ* πρός τήν Ἀλήθειαν, ἀληθείᾳ με στήριξον.

Λόγους Ὀρθοδοξίας,* τό Σόν στόμα κηρύττει ἤ καί νεκροῦ,* βοῶντος ἀληθείας* πρός τούς λαούς τούς ἁπλότητι πίπτοντας,* ὑπό Παπῶν τήν τιάραν,* τούτους καλῶν ὀπίσω,* πρός Ἐκκλησίας Χριστοῦ τήν ἀσφάλειαν.

Μὴ παρίδῃς με, Πάτερ,* τόν ἐν περιστάσεσι, ζάλαις καὶ θλίψεσι,* ὑπάρχοντι, οἴμοι,* βαλλόμενον δ' αἰκίαις,* ἀλλὰ με φρούρησον,* ὑπὸ τὴν σκέπην

Σου τὴν θεἰαν * καὶ ταῖς θεῖαις πρεσβεἰαις Σου σῶσόν με.

Θεοτοκίον.

Ὡς ὡραῖος ὑπάρχων* κάλει παρά πάντας ἀνθρώπους,* ὁ Σός Υἱός Ἁγνή·* προσπίπτω ὅθεν προσώπῳ* δακρύοις λελουμένῳ* κράζων τῇ εὐσπλαχνίᾳ Του,* ἐλέησόν με ταῖς λιταῖς,* τῆς Παναχράντου Μητρός Σου καί σῶσον με.

Ὠδή στ΄. Τήν δέησιν.

Ναόν σου* τόν τοῦ σώματος, Πάτερ,* ταῖς βασάνοις ἔδωκας προθύμως* ἵνα ἡμᾶς ὁμολογίαν διδάξῃς* καί μαρτυρίαν καλήν, Ἀθανάσιε,* κινδυνευούσης τῆς ἡμῶν* μητρός πατρῶας Πίστεως, Ἅγιε.

Ξενίζει,* ὁ ἀφθαρσίᾳ τηρήσας* τό σόν δέμας, Χριστός ὁ Παντάναξ* ἐσκοτισμένας διανοίας ἀπίστων,* Μικρᾶς Ῥωσίας ἀστήρ Ἀθανάσιε·* διό τοῖς Σὲ τιμῶσιν ἐκτενῶς,* τὸ Αὐτοῦ αἴτει πέμψαι ἡμῖν ἔλεος.

Ὅλην μου* τήν καρδίαν λυμαίνει* Ἀθανάσιε Μαρτύρων ἀκρότης,* ὁ πτερνιστὴς καὶ μισόκαλος πλάνος,* ῥιπῇ δ’εὐχῶν Σου θερμῶν τοῦτον μάκρυνον* καί εἰρηνεύειν ἐσαεί,* τὸν Σόν πρόσφυγα, Μάρτυς, ἀξίωσον.

Θεοτοκίον.

Ναῷ Σου νῦν,* τόν ἐν Βρέστῃ Παρθένε,* ὡς τῇ μόνῃ Θεοτόκῳ βοῶμεν,* εὐλογημένη Μαρία

ἁπάντων* τῶν εὐσεβῶν ἀῤῥαγὲς περιτείχισμα,* περιχαράκωσον ἡμᾶς, Ἀθανασίου ἱκεσίαις τοῦ Μάρτυρος.

**Δ**ιάσωσον* Ἀθανασίου πρεσβείαις Παντελεήμων,* ὅτι πάντες κατόπιν Σου αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντι* τήν πρός Σέ παρρησίαν.

**Ἄ**χραντε,* ἡ διά λόγου τον Λόγον ἀνερμηνεύτως* τεκοῦσα, δυσπωπησον* ὡς ἔχουσα μητρικήν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

**Τ**ὸν ἐν Βρέστῃ ἀφθάρτως κατακείμενον* εἰς τοὺς αἰῶνας,* κλεινὸν Ἀθανάσιον,* ὀφθέντα τῆς Πίστεως πρόμαχον,* ἀνευφημοῦντες βοῶμεν ἐν δάκρυσι,* τούς Ὀρθοδόξους περίσωζε ἀεί,* Πάτερ, ἐκ παντοίων θλίψεων.

Καί εὐθύς τό Προκείμενον.

*Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στίχ. *Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσει.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην.

**Ε**ἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμέ πρῶτον ὑμῶν

μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἄν τό ἴδιον ἐφίλει· ὅτι δέ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ’ ἐγώ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διά τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγώ εἶπον ὑμῖν· οὐκ ἐστί δοῦλος μείζων του κυρίου αὐτοῦ· εἰ ἐμέ ἐδίωξαν καί ὑμᾶς διώξουσιν· εἰ τόν λόγον μου ἐτήρησαν καί τόν ὑμέτερον τηρή-σουσιν. Ἀλλά ταῦτα πάντα ποιήσουσιν ὑμῖν διά τό ὄνομά μου, ὅτι οὐκ οἴδασι τόν πέμψαντά με. Εἰ μή ἦλθον καί ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δέ πρόφασιν οὐκ ἔχουσι περί τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμέ μισῶν καί τόν πατέρα μου μισεῖ. Εἰ τά ἔργα μή ἐποίησα ἐν αὐτοῖς, ἅ οὐδείς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δέ καί ἑωράκασι καί μεμισήκασι καί ἐμέ καί τόν πατέρα μου. Ἀλλ’ ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δέ ἔλθῃ ὁ Παράκλητος, ὅν ἐγώ πέμψω ὑμῖν παρά τοῦ Πατρός, τό Πνεῦμα τῆς ἀληθείας, ὁ παρά τοῦ Πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ. Καί ὑμεῖς δέ μαρτυρεῖτε, ὅτι ἀπ’ ἀρχῆς μετ’ ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμίν ἵνα μή σκανδαλισθῆτε. Ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ’ ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Δόξα.

**Τ**αῖς Ἀθανασίου πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

**Τ**αῖς τῆς Θεοτόκου* πρεσβείαις, Ἐλεῆμον,* ἐξάλειψον τά πλήθη* τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι. Στ.

Στίχ. *Ἐλέησόν με ὁ Θεός* κατά τό μέγα ἔλεός Σου* καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου* ἐξάλειψον τό ἀνόμημά μου.*

**Σ**τῦλε ἁγιότητος,* Ὀρθοδοξίας προΐστορ* καὶ ποιμὴν ὑπέρφωτε,* χάριν θείαν εὕρηκας* τήν ἀπό Θεοῦ Ἀθανάσιε,* Ῥωσίας ἀνάθρεμμα,* Ὀρθοδοξίας στέμμα* καὶ τῆς Βρέστης νῦν θησαύρισμα,* τοῖς Σοὶ προστρέχουσι* καὶ ἀσπαζομένοις τήν θήκην Σου,* παρέχειν ἄμφω δύναμιν* καὶ πληρεῖν αὐτῶν τὰ αἰτήματα* τά πρὸς σωτηρίαν·* διόπερ καί βοῶμεν ἐν χαρᾷ,* χαῖρε θαυμάτων* ἀείῤῥυτε, Ἱερομάρτυς, χείμαῤῥε.

Καί ἀποπληροῦμεν τάς λοιπάς ᾠδάς τοῦ Κανόνος.

Ὠδή ζ΄. Παῖδες Ἑβραίων.

**Π**απῶν τήν δαιμονιῶσαν γνώμην* καθεῖλες τῇ Σῇ ὀρθῇ ὁμολογίᾳ·* διό καί Οὐνιτῶν εἱρκτῆς τε καί ἀγχόνης,* ἀσπλάχνως πεῖραν ἔλαβες* καί ἀνθράκων ἀνημένων.

**Ῥ**ῦσαί με τῆς ἀδυναμίας* σαρκός ἀσθενούς, ἥ τοῖς πάθεσι ἡττᾶται,* Σύ Πάτερ βοῶ, τόν σάρκα ἀνελόντα* καί μαρτυρίοις πρόθυμον* δειχθέντα καί βασάνοις.

Σῶσον πρεσβείαις Σου, οἰκτήρμον,* ὡς δοῦλος πιστός οἰκτήρμονος Δεσπότου,* ὅσους ἐν διωγμῷ ὑπάρχοντας πιστούς Του·* Ὀρθοδοξίᾳ στήριξον* ἡμᾶς αὐτούς τε, Πάτερ.

Θεοτοκίον.

Ἴδε ἀσθένειαν σαρκός μου,* τῆς κάτω φρονεῖν κρατούσης με, Παρθένε,* πλήν Σύ ὡς ἀγαθή ἀνόρθωσον καί ἄνω* φρονεῖν με καταξίωσον,* τοῦ Μάρτυρος πρεσβείαις.

Ὠδή η’. Τόν ἐν ὄρει ἁγίῳ.

Τήν τιμίαν Σου θήκην προσκυνοῦντες* ἐν ᾗ τό σεπτόν κατάκειταί Σου σῶμα,* τοῖς μαρτυρίου μώλωψι κοσμούμενον,* Σέ ὑπερυψοῦμεν* καί ὑμνολογοῦμεν,* ὡς Μάρτυρα Κυρίου.

Ὑμνητάς Σου ἀνάδειξον τούς πρώην* ἀρνητάς, αἰκιστάς καί ἐπαχθεῖς δημίους,* αὐτούς ὁδηγών πρός Κύριον εὐχαῖς Σου,* τῇ Ὀρθοδόξῳ Μίᾳ* καί Καθολική τε* Χριστοῦ τῇ Ἐκκλησίᾳ.

Φῶς αὐγάζον ἐγένου ὅτε ἀνθράκων* πεῖραν ἔλαβες πυρᾶς τῆς φλογιζούσης,* Πίστιν ὁμολογῶν τήν μίαν καί γνησίαν,* καί τῷ λαῷ κηρύττων* Ὀρθοδοξίᾳ ἐμμένειν* καί Οὐνίᾳ ἀπορρίπτειν.

Θεοτοκίον.

Ὄρος ἅγιον Σε ἐκήρυξεν Προφήτης,* πύλην κεκλεισμένην ἑώρακέ Σε ἄλλος·* ἡμεῖς δέ Σώτηρα τοῦ κόσμου ὁμολογοῦμεν,* τήν Ἀθανασίου* μόνην ἐν μαρτυρίῳ* χαροποιόν ἐλπίδα.

Ὠδὴ θ’. Ἐξέστη ἐπὶ τούτῳ.

**Χ**έρσον τῆς ψυχῆς μου ἐπιμελοῦ* καὶ γὰρ αὕτη κατὰ Χρυσορρῥήμονα κατ’ ἐξοχὴν,* εὕρητ’ ἐν ἀκάνθαις πολλοῖς μεστή·* ἀλλ’ ὅμως τῇ μεγίστῃ Σου πρὸς ἐμέ* συμπαθείᾳ γλυκεῖᾳ, τοῦ πονηροῦ* λύτρωσαι παγίδων* ἐν τάχει, θεοφόρε,* τὸν ἐν δακρύοις δυσωποῦντά Σε.

**Ψ**αλμῶν οὐκ ἀρκεῖ μοι πᾶσα πληθύς,* τὴν ἀτέλεστον φράσαι ἀπάθειαν, ἣν ὡς χρυσῆν,* Πάτερ, ἐπενδύθης καταστολήν,* δι’ ἧς καὶ ἐπώφθης ἐν οὐρανῷ,* διά μαρτυρίου τῷ Βασιλεῖ·* βάπτισμα καί λουτρόν τε* ὠνόμασται, οὗ τύχω* Σαῖς ἱκεσίαις Ἀθανάσιε.

**Ὠ**ραία ἡ εἰκὼν καὶ περικαλλής* καί ἡ θήκη τῶν λειψάνων ὁμοίως δέ,* ἅ ἡ Βρέστη κέκτειται εὐλαβῶς* καί πρός ἅ προσφεύγει ἐν τοῖς δεινοῖς,* τάς θεοπειθεῖς Σου πρός τόν Χριστόν* πρεσβείας, ἱκεσίας* λιτάς τε καί δεήσεις* ἐπιζητοῦσα ἀξιάγαστε.

Θεοτοκίον.

**Ὕ**μνου παρακλήσεως πενιχρᾶς* περατωθέντος, Ἁγνή Ἀειπάρθενε, πρός Σόν Υἱόν,* ἔκτεινον τάς χεῖρας ὑπέρ ἡμῶν,* ὅπως ἐν τῇ ὥρᾳ τῇ φοβερᾷ* Κρίσεως καί θανάτου πνευματικοῦ,* ἐν τοῖς δεξιοῖς Του* προβάτοις κατατάξει* τούς ἐκζητοῦντάς Σου τό ἔλεος.

Καί εὐθύς, τοῦ Ἱερέως θυμιῶντος τό Ἱερόν Θυσιαστήριον καί τόν εὐσεβῆ λαόν, ψάλλονται τά παρόντα Μεγαλυνάρια:

Ἄξιον ἐστιν ὡς ἀληθῶς,* μακαρίζειν Σε τήν Θεοτόκον,* τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν τῶν Χερουβείμ* καί ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ,* τήν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτοκον Σέ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί,* βλαστὸν τόν τῆς Βρέστης,* τὸν διδάξαντα τὸν λαόν* τῆς Μικρᾶς Ῥωσίας, Ὀρθοδοξίαν σέβειν,* Ἀθανάσιον πάνυ,* θεῖον διδάσκαλον.

Λῦσον τῶν παθῶν μου πέδας σκληράς,* Ἀθανάσιε Πάτερ* καὶ χορήγει μοι Σαῖς εὐχαῖς,* πίστιν ἀκροτάτην, ὅπως Ὀρθοδοξίαν,* κηρύττω διά βίου* ἔργῳ καί λόγῳ τε.

Ἀβρύνεται Βρέστη πανευσεβῶς,* βλαστὸν κεκτημένη* ἐκ σπαργάνων Σε θαυμαστόν,* ᾗ ἀπαύστως δίδου, ταῖς πρὸς Χριστόν εὐχαῖς Σου,* τῶν οἰκτιρμῶν τῶν θείων* θεῖα δωρήματα.

Ὡς Ὀρθοδοξίας τόν τιμητήν* καὶ Ἁγίων Πάντων* διὰ βίου ἐκμιμητήν,* τιμῶμεν οἱ πόθῳ, παντοδαπῶς τυχόντες,* τῆς ἀντιλήψεώς Σου,* ὦ Ἀθανάσιε.

Θέλοντά με πόθῳ ἀπό τοῦ νῦν* ὀρθόδοξον βίον* τοῦ ἐλέσθαι, ὦ Ἀθλητά, βοηθός γενοῦ μοι εἰς δρόμον

τόν ἀνάντη,* στηρίζων προσπαθείας,* βραβεύων πρόθεσιν.

**Τ**όν σύραντα ἀτέχνως πτωχάς γραμμάς,* είς δόξαν καί μνήμην* καί παράκλησιν, Πάτερ, Σήν,* στήριζε τῇ πίστει, ἐλπίδι καί ἀγάπῃ* καί πνεῦμα μετανοίας* ἐμοί ἐμφύτευσον.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

**Π**ᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,* Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,* οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου,* ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα.

Ἦχος πλ. β΄.

**Ἐ**λέησον ἡμᾶς,* Κύριε, ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,* ταύτην Σοι τήν ἱκεσίαν,* ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

**Κ**ύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ’ ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς* ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν* καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

**Τ**ῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες είς Σέ μή άστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ὑπό τοῦ Ἱερέως Ἀπόλυσις. Καί τῶν Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ἁγίου καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

**Π**άντας τούς προσφεύγοντας πιστῶς,* ἐν τῷ Σῷ ναῷ καί τῇ θήκῃ,* ὦ Ἀθανάσιε,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* τῶν παθῶν δέ διάλυσον* μενόμενον σάλον,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·* Σύ γάρ τῆς Ῥωσίας ὑπάρχεις* καί Σῶν ὁμοχώρων προστάτης,* πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.

Ἦχος πλ. δ'.

**Δ**έσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς* ἀπό πάσης ἀνάγκης καί θλίψεως.

Ἦχος β'.

**Τ**ήν πᾶσαν ἐλπίδα μου* είς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Στίχοι.

*Γράψαντα πτωχόν καί πένητα τοῖς ἔργοις,*
*Ἀντώνιον, ὁδήγησον είς μετανοίας τρίβους,*
*ἵνα μή θέλων εὑρεθῆ ἔξω τῆς Βασιλείας,*
*ὡς ἄλλοτε οἱ τῆς Κιβωτοῦ ἐργάται, ἐπί Νῶε,*
*οἵ ἔκτισαν τήν Κιβωτόν είς σωτηρίαν ἄλλων,*
*αὐτοί δέ οὐκ ἐσώθησαν, ἐπεί οὐκ εἰσῆλθαν ὅλως.*